Μανδύας εἶδος ἱματίου ὅπερ καλεῖται λωρίκιον (Μανδύη τὴν βεῤῥὰ· μανίαν, τὴν γυ-
νίαν λέγουσι δὲ καὶ μανάν, Ἀριστοφάνης· Μανής τοὔνομα εἶδος· Μανησβόλος φαῦλος καὶ ἀχρεῖον εἰδό-
τας λαβεῖν ἥρηκεν) Μανὸν ἀραιὸν ἢ χαῦνον ἢ ἀνωφερὲς ὡς φλὸξ καὶ ὁρμαινόμενος, ὁ μὴ ἰσχυρὸς καὶ
ἀραιόν· ἔτι μάνια ἀπὸ τοῦ τετρῆφθαι ὠνόμασαν (Μανθάνειν, καὶ τὸ παραλαμβάνειν τὸ τί γνώθησαν καὶ
τὸ συνιέναι· Μαντεύεσθαι, ἀντὶ τοῦ μαντεύεσθαι λέγουσιν· Μαράθρια, μασίξ· Μαργαρίτης, λίθος θηρός· ...
ταυρίλτις· Μαρακίς κιλονική τὰ λαγαρὰ μασικά εἶναι. καὶ ἡ μὲν μάραθος ἐλάφων ἐστὶν ὄφεως, καὶ τὸ
κοτεῖ τὸ θῆρας ἀποδιώκει· ἡ δὲ λύκη ὅτι Ἡρακλῆς ἀχθόμενος ἐστέψατο τοῦτο· Μαραθὼν δῆμος Αἰαν-
τίδος. Μαραθώνιον ποίημα, Αἰσχύλος. Εὐδοκίμησε φησὶν ἐν τῷ Μαραθῶνι σὺν τοῖς ἀδελφοῖς Κυναιγείρῳ)
Μαντινικὸν διοικισμόν, ἀντὶ τὸ κώμας τὴν Μαντίνειαν διῴκισαν πάλιν οἱ Λακεδαιμόνιοι, ἐκλήθη
τοῦτο Μαντινικὸν διοικισμός. Μαντικοσύνη, Μαντεῖον. Μαργίτης, ἐπὶ μωρίᾳ κωμῳδούμενος, οὔ φησιν
ἀριθμῆσαι μὴ πλείω τῶν πέντε δύνασθαι· γήμαντα δὲ ἁπτόμενον ~~[illegible]~~ μὴ ἀλγοίη, ἕως
ἀλλὰ φοβεῖσθαι λέγοντα μὴ τῇ μητρὶ αὐτὸν διαβάλλῃ· ἠγνόει δὲ νεκρὸν ἤδη γεγενημένον, καὶ πυνθάνεσθαι τὴν
μητρὸς εἴη ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἔτεκεν· Μαργαίνει, μαίνεται· Μάργος, μαινόμενος· Μαργώσας χεῖρας μαινομένην
χεῖρα· Μαρμαίρει, λάμπει, καλωπίζει· Μαρμαρυγή, λαμπρόν· Μαρμαρυγή, ἀστραπή· λαμπηδών· (Μαστίνη
ἡ μαρμαρουμένη ὕλη καὶ τῆς ἀνθρακιᾶς. Σοφοκλῆς·) Μαρίλη, ὁ χνοῦς τῶν ἀνθράκων, καὶ ἡ τοῦ αὐτοῦ
ἀσβόλη (Μαριλοκαυτῶν θηριωδῶν· οὕτως Αἰσχύλος· Μάρσιππος σάκκος· θυλάκιον· σακκίδιον (Μάλλης
δέρμα καὶ ὑπόδημά τι ἱκανώτερον· Μαρμάριον τῆς Εὐβοίας δῆμος καὶ ἱερὸν Ἀπόλλωνος· οὕτως Με-
νανδρος) Μαρτύρεσθαι, ὅταν ἀντὶ τοῦ μαρτυρίᾳ ἐπάγεσθαι ἢ παρακαλεῖται. Πολιτείας β΄ τὸν ὅ-
μηρον μαρτυρούντων· (Μάρτυς, ὁ μάρτυς καὶ τὸν μάρτυρα καὶ τοῦ μάρτυρος Μένανδρος) Μαρώνεια, τόπος
ἐπὶ τῆς Ἀττικῆς ἣν Δημοσθένης ἐν τῇ περὶ [illegible] παραγραφῇ μεμνηνται· ἔστι δὲ καὶ πόλις ἐν
Θρᾴκῃ ἥν φησιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην· Μασσαλία, Ἰσοκράτης φησὶν ἐν Ἀρχ-
ιδάμῳ ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν. Μαρ-
τυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης. Μάσημα, μάστωμα, ζήτημα· οὕτως Κρατῖνος·) μάστη φορά· ζωμοῦ·
(Μαστεύσει, ζητεῖ ἀρχαϊκῶς) Μάσκη, μάσημα· τροφήν (Μάσκαι, τὰς ἀκρίδας Σοφοκλῆς)
Μαστίζω, δέρω οἷον ὁ δι' ἱμάσθλης μαστιζόμενος· Μαστροπεύειν, τὸ κακῶς μαστεύειν κυνηγεῖν· Μαστρο-
πεῖς, οἱ τὰ φυγαδευτικὰ χρήματα εἰσπράττοντες· οἷον ζυγίδαι τῶν φυγαδευθέντων χρημάτων τῶν
ἀειφυγίᾳ φυγαδευθέντων· ἐκλήθησαν δὲ μαστῆρες ἀπὸ τῶν κυνηγῶν τῶν ἐν τοῖς μαστοῖς τῶν ὀ-
ρῶν ζητούντων τὰ θηρία· Μαστίζω, ἀντὶ τοῦ κνίσσω) Μαστιγώσιμος, μαστίγων ἄξιος. Μαστροποί, μαστροπός· προ-
αγωγοί. Μαστυλλεῖον, τόπος ἔνθα οἱ Μαστροποὶ διέτριβον· Μάστειρα ἐν ῃ΄ Φιλιππικῶν Δημοσθένης· τῶν
μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειρα· Μύρτειον φασί-
ον· ἀντὶ τοῦ μάσειρα· Βάσειρα ἢ Πίστειρα ἢ Ἑρμαῖον. Τὰς δὲ τὰς πόλεις εὑρίσκομεν παρὰ
Ἀναξιμένει ἐν ζ΄ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάσειραν ἐλάμψε· Ματτύαι, μαλακίζεσθαι· Ματτύης
σκευασία τις περὶ θρυμμάτων χρήσιμος ἐκ ποιοῦ καὶ κώμου πλείω φιλήμονος· Μαστυλλεῖον τόπος ἔνθ' ἠγοῦν
Μαστροποὶ διατρίβουσι ἑταίρας ἔχοντες καὶ ἀλλαγῆς τῆς βδελυρᾶς ἐκαλοῦντο δὲ αὐλαὶ καὶ μάστροποι· Εὐφή-
μως) Μασχάλην ἴσως, κωμικῶς μωδήση· οἱ θεραπεύοντες ἦσαν τὰς μασχάλας, καὶ οἱ μωκώμενοι καὶ τι-
μωρήσεις χεῖρας ἀνέχοντες γέλω ἔκλαιον· Μασχαλίσματα, Ἀριστοφάνης παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ
κεῖσθαι τὴν λέξιν ἔθος σημαίνουσαν· οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινας ὑπὲρ τοῦ μῆνιν ἐκκλίνειν
ἀκρωτηριάζοντες μόρια τοῦ νεκροῦ καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διεί-
ραντες καὶ μασχαλίσματα προσηγόρευσαν. Σημαίνει δὲ ἡ λέξις τὰ τοῖς μηροῖς ἐπιτιθέμενα ἀπὸ τῶν
ὤμων κρέα ἐν ταῖς τῶν θεῶν θυσίαις· Μάσσειν, ἀρχή τις ἀποδεδειγμένη ἐπὶ τοῦ ζυγοῦ τὰ κοινὰ τοῦ
δήμου, ὡς οἱ ζυγίδαι καὶ οἱ ἐν Πελλήνῃ μαστροί (ματαΐζω, μάτην· μάτην ματαίως) Μάτης, ἄλλος ἴσως
Ματηρώειν, μαστεύειν, ζητεῖν· Ματιολοιχὸς ὁ περὶ τὰ μικρὰ περίεργος καὶ λίχνος· Μάτιον φασὶ εἶναι ἔλα-
τῆς τόνου μικρόν. (Μὰ τὼ θεώ, γυναικεῖος ὅρκος· Δωρικῶς δὲ ὀμνύουσι τὴν Κόρην καὶ τὴν Δή-
μητραν· ἄνδρες δὲ οὐ πρέπει τοῦτον ὀμνύναι) Μαυρὸν τὸ ἀμαυρὸν καὶ ἀσθενές. Μαυροί, μωροί·
Μαχλάς, κελητικὴν λέγουσι· Μαχαιρίδαι, αἱ κουρικαὶ μάχαιραι· οὕτως Εὔπολις) Μαχλάδες, πόρναι·
Μάχλος, ἀσελγὴς ἄσωτος· Μαχλοσύνη, καθωφρεία γυναικομανία· Μαχλῶντες πορνεύοντες· Μάν-
δωλος, Ἄρχων Κάρων· φασὶ δὲ αὐτὸν Θεόπομπος μηδὲν ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.
Μαχάλας ὄνομα κύριον. Μάχ, μάλιστα. Μαλίδιον, μικίδιον· δασυλλές· χαλεπόν· πολύ· δεινόν· ἐκβ-
σιον. (Μεγάβυζος, ἀγάλματα βασιλέως ἀναπεμφθεὶς εἰς Ἀθήνας ὑφ' οὗ ἐπεκήρυσαν Ἀθηναῖοι) Μεγα-
θυμος, μεγαλόψυχος· (Μεγάλην θεὸν Ἀριστοφάνης ἐν Λημνίαις. ἴσως τὴν Βενδῖν Θρᾴκιος θεός)
Μεγαίρειν, φθονεῖν. Μεγαλεῖον μύρον, ἀπὸ τοῦ εὑρομένου τὴν κατασκευὴν αὐτοῦ. (λέγεται δὲ καὶ
Θεόφραστος εἰς τὸ περὶ ὀσμῶν τὴν κατασκευὴν τοῦ μεγαλείου.) Μεγαλήτως, μεγαλόψυχος· Μεγα-
λονεια, ἢ περιφανῆ, μεγαλοφυΐα· Μεγαλοπρεπής, μεγαλοφρονής· Μεγαλόφρων Μεγαλόψυχος. Με-
γαλώνυμος, μεγαλόδοξος περίφημον, ὀνομαστόν. Μεγάρικος, Μεγαλοφωνότατος ἢ ὄνος· Μεγάρω-
ζει πάλιν, ἰσχυρῶς, συνεχῶς ἀνέχειν ἐμποιοῦντος· ἐπὶ μεγάλα δύναται ὁ Χρυσός, κνώσσει πολλὰ
λέγεται εἶναι. Μεγαρέων δάκρυα, ἐπεὶ πλεῖστα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται, εἰς παροιμίαν
ἦλθεν, ἐπὶ τῶν προσποιητῶς δακρυόντων. Μεγαρίζοντες λιμώσσοντες ἢ μεγαλαλίζοντες. Με-
γαρικαὶ σφίγγες, αἱ πόρναι οὕτως ἐκαλοῦντο, ἴσως δὲ ἐντεῦθεν καὶ ἐρρίφθαι οἱ μαλακοὶ ὀνομάζονται.
ἢ ἀπὸ Μαιάδος [illegible] ἐν Μεγαρίδι. Μέγαρον, ὑπερῷον οἴκημα· Μεδέδωνος φροντίζειν· Μέδιμνον
μέτρον χοινίκων μη ~~[illegible]~~ Μέδων, βασιλεύων· Μεθαρμοζόμενος μετεσχηματισμένος· Μεθεῖναι ἀφεῖναι·
ἀμελῆσαι (Μεθῆκεν, καὶ μεθίενται καὶ μεθέλκειν τὸ ἐπί τινι ἐλθεῖν· Μεθῆκεν, καὶ ἐμεθῆκεν λέγουσιν
δ' ἑκατέρως· μᾶλλον δὲ μεθῆκεν. τὸ γὰρ ἐμεθῆκεν ἰακὸν καὶ παλαιόν) Μεθεῖς, ἀφείς, ἐῶν. Μεθιέ-
ασω· ἀφῶ, ἐάσω. Μέθεξις, μετοχὴ κοινωνία. Μεθίεσαι, καταλιπεῖν. Μεθημοσύνη, ἀμέλεια ῥᾳθυμία· Με-
θήμων, ἀμελής (Μεθόριον, ἡμέραι, αἵτινες ἐπὶ [illegible] ταῖς ἑορταῖς ἐπαγόμεναι· [illegible] Μεθεο-
ρτα ὁ κατιῶν ἑορτῆς ἥκοιεν) Μεθύσειν ἀμελήσειν. Μεθεῖν, ἀμελῶ ἀφεῖ· Μεθιέμενοι ἐῶντες προϊέ-
μενοι· Μεθεῖτο· προεῖτο, ἀφεῖτο. Μεθοδεία τεχνικοὶ δόλοι. Μεθοδεύει, μετέρχεται, τεχνάζεται ἀπατᾷ.
Μεθώνη, Δημοσθένης ἐν Φιλιππικοῖς. λέγει ἐν αὐτῇ ἐν Θρᾴκῃ ἦν πολιορκῶν Φίλιππος ἐξεκόπη
τὸν δεξιὸν ὀφθαλμόν· Τέσσαρες δ' εἰσὶ φασὶ Μεθῶναι Δημήτριος ὁ Μάγνης· Μεθόριον, τὸ μεταξὺ
τῶν ὅρων· Μεθηρμοσμένος μετεσχηματισμένος. Μέθυ, οἶνος. (Μεθόδιον τὸ μετὰ τὴν ὁδόν· Μεθόλιον τὸ μετὰ τὴν ὠδήν.
Μεθύμνιον τὸ μετὰ τὸν ὕμνον, ἢ ἡ μετὰ μέθης ᾠδή. Μειαγωγὸς [illegible] Μεῖον θύεσθαι ἱερὸν τοῦ θύονε-
νον ἐπειδὰν εἰς τοὺς φράτορας τοὺς παῖδας ἀνάγωσιν) Μειλίγματα ἀναλύματα. Μειλικτηρίοις, προσηνέσι.
ἤθεσιν πραΐσιν. Μειλίξασθαι, πραΰνει· Μείλιχος, πρᾶος, χρηστός. Μεῖον καὶ μειαγωγός, Ἰσαῖος ἐν τῷ
πρὸς Στρατοκλέα φησὶν ὑπὲρ σοῦ μεῖον. θῦμα δὲ ἐστιν ὑπὸ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες
εἰς τέλος. ὅθεν ὁ μὲν ἱερεὺς μεῖον προσηγορεύθη (Μειαγωγὸς ὁ εἰσάγων· Ἀπολλόδωρος ἐν τοῖς περὶ
θεῶν· οἱ φράτορες ἵνα μείζονος μερίδος ἐπιτύχωσιν ἔστησαν [illegible] ὡς μεῖον [illegible] Μειαγωγῆσαι οἱ
ἐπὶ τὸ ἐπιδεῖξαι τοῖς φράτορσι τὸ μεῖον. Μελ[illegible] Μελανίππιον, τοῦ Θησέως

http://digital.slub-dresden.de/ppn346246385/40